ΔΗΜΗΤΡΙΟΥ Ν. ΓΟΥΔΗ
ΓΥΜΝΑΣΙΑΡΧΟΥ ΤΟΥ ΠΑΡΑ ΤΩι ΔΙΔΑΣΚΑΛΕΙΩι ΤΗΣ Μ. ΕΚΠΑΙΔΕΥΣΕΩΣ
ΠΡΟΤΥΠΟΥ ΚΛΑΣΣΙΚΟΥ ΓΥΜΝΑΣΙΟΥ

ΠΑΙΔΑΓΩΓΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

IV.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ

(ΕΚΛΟΓΑΙ)

Ζ

«Γηράσκω δ' αἰεὶ διδασκόμενος» (Σόλων).

ΕΚΔΟΣΙΣ Γ'.

ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Π. Δ. ΚΥΡΙΑΚΟΥ
ΟΔΟΣ ΤΑΚΗ 13
1925

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ραφαηλαντεφ δυνατδεφ 1985
ΟΝΙΙ
Ι. Σλαμεφ Τζιμας

ΔΗΜΗΤΡΙΟΥ Ν. ΓΟΥΔΗ
ΓΥΜΝΑΣΙΑΡΧΟΥ ΤΟΥ ΠΑΡΑ ΤΩΙ ΔΙΔΑΣΚΑΛΕΙΩΙ ΤΗΣ Μ. ΕΚΠΑΙΔΕΥΣΕΩΣ
ΠΡΟΤΥΠΟΥ ΚΛΑΣΣΙΚΟΥ ΓΥΜΝΑΣΙΟΥ

ΠΑΙΔΑΓΩΓΙΚΗ ΒΙΒΛΙΟΘΗΚΗ

IV.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ

(ΕΚΛΟΓΑΙ)

Ζ

«Γηράσκω δ' αἰεὶ διδασκόμενος» (Σόλων).

ΕΚΔΟΣΙΣ Γ'.

ΕΝ ΑΘΗΝΑΙΣ
ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ Π. Δ. ΚΥΡΙΑΚΟΥ
ΟΔΟΣ ΤΑΚΗ 13
1925

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ΙΛΙΑΔΟΣ Ζ.

Ἕκτορος καὶ Ἀνδρομάχης ὁμιλία.

Τρῶων δ' οἰώθη καὶ Ἀχαιῶν φύλοπις αἰνή·
πολλὰ δ' ἄρ' ἔνθα καὶ ἔνθ' ἴθυσε μάχη πεδίοιο,
ἀλλήλων ἰθυνομένων χαλκήρεα δοῦρα,
μεσσηγὺς Σιμόεντος ἰδὲ Ξάνθοιο ῥοάων. |
Αἴας δὲ πρῶτος Τελαμώνιος, ἕρκος Ἀχαιῶν, 5
Τρώων ῥῆξε φάλαγγα, φόως δ' ἑτάροισιν ἔθηκεν,
ἄνδρα βαλών, ὃς ἄριστος ἐνὶ Θρῄκεσσι τέτυκτο,
υἱὸν Ἐυσσώρου' Ἀκάμαντ', ἠΰν τε μέγαν τε.
τὸν ῥ' ἔβαλε πρῶτος κόρυθος φάλον ἱπποδασείης,
ἐν δὲ μετώπῳ πῆξε, πέρησε δ' ἄρ' ὀστέον εἴσω 10
αἰχμὴ χαλκείη· τὸν δὲ σκότος ὄσσε κάλυψεν. |
Ἄξυλον δ' ἄρ' ἔπεφνε βοὴν ἀγαθὸς Διομήδης
Τευθρανίδην, ὃς ἔναιεν ἐὺ κτιμένῃ ἐν Ἀρίσβῃ
ἀφνειὸς βιότοιο, φίλος δ' ἔεν ἀνθρώποισι·
πάντας γὰρ φιλέεσκεν ὁδῷ ἔπι Ϝοικία ναίων. 15
ἀλλά Ϝοι οὔ τις τῶν γε τότ' ἤρκεσε λυγρὸν ὄλεθρον
πρόσθεν ὑπαντιάσας, ἀλλ' ἄμφω θυμὸν ἀπέϝρα,
αὐτὸν καὶ θεράποντα Καλήσιον, ὅς ῥα τόθ' ἵππων
ἔσκεν ὑφηνίοχος· τὼ δ' ἄμφω γαῖαν ἐδύτην. |
Ἀρῆσον δ' Εὐρύαλος καὶ Ὀφέλτιον ἐξενάριξε· 20
βῆ δὲ μετ' Αἴσηπον καὶ Πήδασον, οὕς ποτε νύμφη
νηὶς Ἀβαρβαρέη τέκ' ἀμύμονι Βουκολίωνι.
Βουκολίων δ' ἔεν υἱὸς ἀγαυοῦ Λαομέδοντος
πρεσβύτατος γενεῇ, σκότιον δέ Ϝε γείνατο μήτηρ·
ποιμαίνων δ' ἐπ' ὄισσι μίγη φιλότητι καὶ εὐνῇ, 25
ἡ δ' ὑποκυσαμένη διδυμάονε γείνατο παῖδε.
καὶ μὲν τῶν ὑπέλυσε μένος καὶ φαίδιμα γυῖα
Μηκιστηιάδης καὶ ἀπ' ὤμων τεύχε' ἐσύλα. |
Ϝαστύαλον δ' ἄρ' ἔπεφνε μενεπτόλεμος Πολυποίτης·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Πιδύτην δ' Ὀδυσεὺς Περκώσιον ἐξενάριξεν 30
ἔγχεϊ χαλκείῳ, Τεῦκρος δ' Ἀρετάονα δῖον.
Ἀντίλοχος δ' Ἄβληρον ἐνήρατο δουρὶ φαεινῷ
Νεστορίδης, Ἔλατον δὲ Ϝάναξ ἀνδρῶν Ἀγαμέμνων·
ναῖε δὲ Σατνιόεντος ἐυῤῥείταο παρ' ὄχθας
Πήδασον αἰπεινήν. Φύλακον δ' ἕλε Λήιτος ἥρως 35
φεύγοντ'. Εὐρύπυλος δὲ Μελάνθιον ἐξενάριξεν. |
Ἄδρηστον δ' ἄρ' ἔπειτα βοὴν ἀγαθὸς Μενέλαος
ζωὸν ἕλ'· ἵππω γάρ Ϝοι ἀτυζομένω πεδίοιο,
ὄζῳ ἔνι βλαφθέντε μυρικίνῳ, ἀγκύλον ἅρμα
Ϝάξαντ' ἐν πρώτῳ ῥυμῷ αὐτὼ μὲν ἐβήτην 40
πρὸς πόλιν, ᾗ περ οἱ ἄλλοι ἀτυζόμενοι φοβέοντο,
αὐτὸς δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη
πρηνὴς ἐν κονίῃσιν ἐπὶ στόμα, πὰρ δέ Ϝοι ἔστη
Ἀτρεΐδης Μενέλαος ἔχων δολιχόσκιον ἔγχος. |
Ἄδρηστος δ' ἄρ' ἔπειτα λαβὼν ἐλλίσσετο γούνων· 45
«ζώγρεε, Ἀτρέος υἷέ, σὺ δ' ἄξια δέξαι ἄποινα.
πολλὰ δ' ἐν ἀφνειοῦ πατρὸς κειμήλια κεῖται,
χαλκός τε χρυσός τε πολύκμητός τε σίδηρος,
τῶν κέν τοι χαρίσαιτο πατὴρ ἀπερείσι' ἄποινα,
εἴ κεν ἐμὲ ζωὸν πεπύθοιτ' ἐπὶ νηυσὶν Ἀχαιῶν.» | 50
ὣς φάτο, τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ἔπειθε·
καὶ δή μιν τάχ' ἔμελλε θοὰς ἐπὶ νῆας Ἀχαιῶν
δώσειν Ϝῷ θεράποντι καταξέμεν· ἀλλ' Ἀγαμέμνων
ἀντίος ἦλθε θέων, καὶ ὁμοκλήσας Ϝέπος ηὔδα· |
«ὦ πέπον, ὦ Μενέλαε, τί ἦ δὲ σὺ κήδεαι οὕτως 55
ἀνδρῶν; ἦ σοὶ ἄριστα πεποίηται κατὰ Ϝοῖκον
πρὸς Τρώων· τῶν μή τις ὑπεκφύγοι αἰπὺν ὄλεθρον
χεῖράς θ' ἡμετέρας, μηδ' ὅν τινα γαστέρι μήτηρ
κοῦρον ἐόντα φέροι, μηδ' ὅς φύγοι, ἀλλ' ἅμα πάντες
Ϝιλίου ἐξαπολοίατ' ἀκήδεστοι καὶ ἄφαντοι.» | 60
ὣς Ϝειπὼν ἔτρεψεν ἀδελφεόν φρένας ἥρως,
αἴσιμα παρϜειπών· ὁ δ' ἀπὸ Ϝέθεν ὤσατο χειρὶ
ἥρω' Ἄδρηστον· τὸν δὲ κρείων Ἀγαμέμνων
οὖτα κατὰ λαπάρην· ὁ δ' ἀνετράπετ', Ἀτρεΐδης δὲ
λὰξ ἐν στήθεσι βὰς ἐξέσπασε μείλινον ἔγχος. || 65
Νέστωρ δ' Ἀργεῖοισιν ἐκέκλετο μακρὸν ἀύσας·
«ὦ φίλοι ἥρωες Δαναοί, θεράποντες Ἄρηος,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

μή τις νῦν ἐνάρων ἐπιβαλλόμενος μετόπισθεν
μιμνέτω, ὅς κεν πλεῖστα φέρων ἐπὶ νῆας ἵκηται,
ἀλλ' ἄνδρας κτείνωμεν· ἔπειτα δὲ καὶ τὰ Ϝέκηλοι 70
νεκροὺς ἅμ πεδίον συλήσετε τεθνηῶτας.« ||
ὣς Ϝειπὼν ὤτρυνε μένος θυμόν τε Ϝεκάστου.
ἔνθα κεν αὖτε Τρῶες ἀρηιφίλων ὑπ' Ἀχαιῶν
Ϝίλιον εἰσανέβησαν, ἀναλκείῃφι δαμέντες,
εἰ μὴ ἄρ' Αἰνείᾳ τε καὶ Ἕκτορι Ϝεῖπε παραστὰς 75
Πριαμίδης Ἕλενος, οἰωνοπόλων ὄχ' ἄριστος· |
»Αἰνεία τε καὶ Ἕκτορ, ἐπεὶ πόνος ὔμμι μάλιστα
Τρώων καὶ Λυκίων ἐγκέκλιται, οὕνεκ' ἄριστοι
πᾶσαν ἐπ' ἰθύν ἐστε μάχεσθαί τε φρονέειν τε,
στῆτ' αὖθι, καὶ λαὸν ἐρυκάκετε πρὸ πυλάων 80
πάντῃ ἐποιχόμενοι, πρὶν αὖτ' ἐν χερσὶ γυναικῶν
φεύγοντας πεσέμεν, δηίοισι δὲ χάρμα γενέσθαι. |
αὐτάρ, ἐπεί κε φάλαγγας ἐποτρύνητον ἁπάσας,
ἡμεις μὲν Δαναοῖσι μαχησόμεθ' αὖθι μένοντες,
καὶ μάλα τειρόμενοί περ· ἀναγκαίη γὰρ ἐπείγει· 85
Ἕκτορ, ἀτὰρ σὺ πόλινδε μετέρχεο, Ϝειπὲ δ' ἔπειτα
μητέρι σῇ καὶ ἐμῇ· ἡ δὲ ξυνάγουσα γεραιὰς
νηὸν Ἀθηναίης γλαυκώπιδος ἐν πόλι' ἄκρῃ,
οἴξασα κληῖδι θύρας ἱεροῖο δόμοιο,
πέπλον, ὅ Ϝοι δοκέει χαριέστατος ἠδὲ μέγιστος 90
ἔμμεν ἐνὶ μεγάρῳ καί Ϝοι πολὺ φίλτατος αὐτῇ,
θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν ἠυκόμοιο,
καί Ϝοι ὑποσχέσθαι δυοκαίδεκα βοῦς ἐνὶ νηῷ
ἥνις ἠκέστας ἱερευσέμεν, αἴ κ' ἐλεήσῃ
Ϝάστυ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα, 95
αἴ κεν Τυδέος υἱὸν ἀπόσχῃ Ϝιλίου ἱρῆς,
ἄγριον αἰχμητήν, κρατερὸν μήστωρα φόβοιο,
ὃν δὴ ἐγὼ κάρτιστον Ἀχαιῶν φημι γενέσθαι.
οὐδ' Ἀχιλῆά ποθ' ὧδέ γ' ἐδέδϝιμεν, ὄρχαμον ἀνδρῶν,
ὅνπερ φασὶ θεᾶς ἔξ ἔμμεναι· ἀλλ' ὅδε λίην 100
μαίνεται· οὔτις Ϝοι δύναται μένος ἰσοφαρίζειν.« |
ὣς ἔφαθ', Ἕκτωρ δ' οὔ τι κασιγνήτῳ ἀπίθησεν.
αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε,
πάλλων δ' ὀξέα δοῦρα κατὰ στρατὸν ᾤχετο πάντῃ,
ὀτρύνων μαχέσασθαι, ἔγειρε δὲ φύλοπιν αἰνήν. | 105

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

οἳ δ' ἐϝελίχθησαν καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν·
Ἀργέιοι δ' ὑπεχώρησαν, λῆξαν δὲ φόνοιο,
φὰν δέ τιν' ἀθανάτων ἐξ οὐρανοῦ ἀστερόεντος
Τρωσὶν ἀλεξήσοντα κατελθέμεν· ὣς ἐϝέλιχθεν. |
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο μακρὸν ἀύσας· 110
»Τρῶες ὑπέρθυμοι τηλεκλειτοί τ' ἐπίκουροι,
ἀνέρες ἔστε, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
ὄφρα κ' ἐγὼ βήω προτὶ Ἴλιον ἠδὲ γέροντιν
ϝείπω βουλευτῆσι καὶ ἠμετέρησ' ἀλόχοισιν
δαίμοσιν ἀρήσασθαι, ὑποσχέσθαι δ' ἑκατόμβας.« | 115
ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ·
ἀμφὶ δέ μιν σφυρὰ τύπτε καὶ αὐχένα δέρμα πελαινόν,
ἄντυξ ἣ πυμάτη θέεν ἀσπίδος ὀμφαλόεσσης. |
Γλαῦκος δ', Ἱπολόχοιο πάις, καὶ Τυδέος υἱὸς
ἐς μέσσον ἀμφοτέρων συνίτην μεμαῶτε μάχεσθαι. 120
οἳ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
τὸν πρότερος προσέϝειπε βοὴν ἀγαθὸς Διομήδης· |
»τίς δὲ σύ ἐσσι, φέριστε καταθνητῶν ἀνθρώπων;
οὐ μὲν γάρ ποτ' ὄπωπα μάχῃ ἔνι κυδιανείρῃ
τὸ πρὶν· ἀτὰρ μὲν νῦν γε πολὺ προβέβηκας ἁπάντων 125
σῷ θάρσει, ὅ τ' ἐμὸν δολιχόσκιον ἔγχος ἔμεινας.
δυστήνων δέ τε παῖδες ἐμῷ μένε' ἀντιόωσιν. |
εἰ δέ τις ἀθανάτων γε κατ' οὐρανοῦ εἰληλουθας,
οὐκ ἂν ἐγώ γε θεοῖσιν ἐπουρανίοισι μαχοίμην.
οὐδὲ γὰρ οὐδὲ Δρύαντος υἱός, κρατερὸς Λυκόϝοργος, 130
δϝὴν ἔεν, ὅς ῥα θεοῖσιν ἐπουρανίοισιν ἔριζεν,
ὅς ποτε μαινομένοιο Διωνύσοιο τιθήνας
σεῦε κατ' ἠγάθεον Νυσήιον· αἳ δ' ἅμα πᾶσαι
θύσθλα χαμαὶ κατέχευαν ὑπ' ἀνδροφόνου Λυκοϝόργου
θεινόμεναι βουπλῆγι· Διώνυσος δὲ φοβηθεὶς 135
δύσεθ' ἁλὸς κατὰ κῦμα, Θέτις δ' ὑπεδέξατο κόλπῳ
δεδϝιότα· κρατερὸς γὰρ ἔχε τρόμος ἀνδρὸς ὁμοκλῇ.
τῷ μὲν ἔπειτ' ὀδύσαντο θεοὶ ῥῆα ζώοντες,
καί μιν τυφλὸν ἔθηκε Κρόνου πάις· οὐδ' ἄρ' ἔτι δϝὴν
ἦν, ἐπεὶ ἀθανάτοισιν ἀπήχθετο πᾶσι θεοῖσιν. 140
οὐδέ κ' ἐγὼ μακάρεσσι θεοῖσ' ἐθέλοιμι μάχεσθαι. |
εἰ δέ τίς ἐσσι βροτῶν, οἳ ἀρούρης καρπὸν ἔδουσιν,
ἄσσον ἴθ', ὥς κεν θᾶσσον ὀλέθρου πείραθ' ἵκηαι.« |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸν δ' αὖθ' Ἱππολόχοιο προσηύδα φαίδιμος υἱός·
Τυδεΐδη μεγάθυμε, τί ἦ γενεὴν ἐρεείνεις; 145
οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν.
φύλλα τὰ μέν τ' ἄνεμος χαμάδις χέει, ἄλλα δέ θ' ὕλη
τηλεθόωσα φύει, ϝέαρος δ' ἐπιγίγνεται ὥρη·
ὣς ἀνδρῶν γενεὴ ἣ μὲν φύει, ἣ δ' ἀπολήγει. |
εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' ἐὺ ϝείδῃς, 150
ἡμετέρην γενεήν· πολλοὶ δέ μιν ἄνδρες ἴσασιν—
ἔστι πόλις Ἐφύρη μυχῷ Ἄργεος ἱππο̄βότοιο,
ἔνθα δὲ Σίσυφος ἔσκεν, ὃ κέρδιστος γένετ' ἀνδρῶν,
Σίσυφος Αἰολίδης· ὃ δ' ἄρα Γλαῦκον τέκετ' υἱόν,
αὐτὰρ Γλαῦκος ἔτικτεν ἀμύμονα Βελλεροφόντην. 155
τῷ δὲ θεοὶ κάλλος τε καὶ ἠνορέην ἐρατειν̄ὴν
ὤπασαν. | αὐτάρ ϝοι Προῖτος κακὰ μήσατο θυμῷ,
ὅς ϝ' ἐκ δήμου ἔλασσεν, ἐπεὶ πολὺ φέρτερος ἦεν,
Ἀργείων· Ζεὺς γάρ ϝοι ὑπὸ σκήπτρῳ ἐδάμασσε.
τῷ δὲ γυνὴ Προίτοιο ἐπεμήρατο, δι' Ἄντεια, 160
κρυπταδίῃ φιλότητι μιγήμεναι· ἀλλὰ τὸν οὔ τι
πεῖθ' ἀγαθὰ φρονέοντα, δαΐφρονα Βελλεροφόντην.
ἣ δὲ ψευσαμένη Προῖτον βασιλῆα προσηύδα·
,τεθναίης, ὦ Προῖτ', ἢ κάκτανε Βελλεροφόντην,
ὅς μ' ἔθελεν φιλότητι μιγήμεναι οὐκ ἐθελούσης'. | 165
ὣς φάτο, τὸν δὲ ϝάνακτα χόλος λάβεν, οἷον ἄκουσε,
κτεῖναι μέν ϝ' ἀλέεινε, σεβάσσατο γὰρ τό γε θυμῷ,
πέμπε δέ μιν Λυκίηνδε, πόρεν δ' ἃ γε σήματα λυγρά,
γράψας ἐν πίνακι πτυκτῷ θυμοφθόρα πολλά,
δεῖξαι δ' ἠνώγει ϝῷ πενθερῷ, ὄφρ' ἀπόλοιτο. 170
αὐτὰρ ὃ βῆ Λυκίηνδε θεῶν ὑπ' ἀμύμονι πομπῇ. |
ἀλλ' ὅτε δὴ Λυκίην ἷξε Ξάνθην τε ῥέοντα,
προφρονέως μιν τῖεν ϝάναξ Λυκίης εὐρείης.
ἐννῆμαρ ξείνισσε καὶ ἐννέα βοῦς ἱέρευσεν.
ἀλλ' ὅτε δὴ δεκάτη ἐφάνη ῥοδοδάκτυλος ἠώς, 175
καὶ τότε μιν ἐρέεινε καὶ ᾔτεε σῆμα ϝιδέσθαι,
ὅττι ῥά ϝοι γαμβρὸς πάρα Προίτοιο φέροιτο. |
αὐτὰρ ἐπεὶ δὴ σῆμα κακὸν παρεδέξατο γαμβροῦ,
πρῶτον μέν ῥ' Χίμαιραν ἀμαιμακέτην ἐκέλευσε
πεφνέμεν. ἣ δ' ἄρ' ἔεν θεῖον γένος οὐδ' ἀνθρώπων, 180
πρόσθε λέων, ὄπιθεν δὲ δράκων, μέσση δὲ χίμαιρα,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

δϝεινὸν ἀποπνείουσα πυρὸς μένος αἰθομένοιο.
καὶ τὴν μὲν κατέπεφνε θεῶν τεράεσσι πιθήσας.
δεύτερον αὖ Σολύμοισι μαχέσσατο κυδαλίμοισι·
καρτίστην δὴ τήν γε μάχην φάτο δύμεναι ἀνδρῶν. 185
τὸ τρίτον αὖ κατέπεφνεν Ἀμαζόνας ἀντιανείρας. |
τῷ δ' ἄρ' ἀνερχομένῳ πυκινὸν δόλον ἄλλον ὕφαινε·
κρίνας ἐκ Λυκίης εὐρείης φῶτας ἀρίστους
εἶσε λόχον· τοὶ δ' οὔ τι πάλιν ϝοἴκόνδε νέοντο·
πάντας γὰρ κατέπεφνεν ἀμύμων Βελλεροφόντης. | 190
ἀλλ' ὅτε δὴ γίγνωσκε θεῆς γόνον ἠὺν ἐόντα,
αὐτοῦ μιν κατέρυκε, δίδου δ' ὅ γε θυγατέρα ϝήν,
δῶκε δέ ϝοι τιμῆς βασιληίδος ἥμισυ πάσης·
καὶ μέν ϝοι Λύκιοϊ τέμενος τάμον ἔξοχον ἄλλων,
καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμοιτο. | 195
ἡ δ' ἔτεκε τρία τέκνα δαΐφρονι Βελλεροφόντῃ,
ϝίσανδρόν τε καὶ Ἱππόλοχον καὶ Λαοδάμειαν.
Λαοδαμείῃ μὲν παρελέξατο μητίετα Ζεύς,
ἡ δ' ἔτεκ' ἀντίθεον Σαρπηδόνα χαλκοκορυστήν.
ἀλλ' ὅτε δὴ καὶ κεῖνος ἀπήχθετο πᾶσι θεοῖσιν, 200
ἦ τοι ὁ κὰπ πεδίον τὸ Ἀλήιον οἶος ἀλᾶτο
ϝὸν θυμὸν κατέδων, πάτον ἀνθρώπων ἀλεείνων·
ϝίσανδρον δέ ϝοι υἱὸν Ἄρης ἄατος πολέμοιο
μαρνάμενον Σολύμοισι κατέκτανε κυδαλίμοισι,
τὴν δὲ χολωσαμένη χρυσήνιος Ἄρτεμις ἔκτα. | 205
Ἱππόλοχος δ' ἔμ' ἔτικτε, καὶ ἐκ τοῦ φημι γενέσθαι·
πέμπε δέ μ' ἐς Τροίην, καί μοι μάλα πόλλ' ἐπέτελλεν
αἰὲν ἀριστεύειν καὶ ὑπείροχον ἔμμεναι ἄλλων,
μηδὲ γένος πατέρων αἰσχυνέμεν, οἳ μέγ' ἄριστοι
ἔν τ' Ἐφύρῃ ἐγένοντο καὶ ἐν Λυκίῃ εὐρείῃ. 210
ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι ἔμμεν.» |
ὣς φάτο, γήθησεν δὲ βοὴν ἀγαθὸς Διομήδης.
ἔγχος μὲν κατέπηξεν ἐπὶ χθονὶ πολυβοτείρῃ,
αὐτὰρ ὁ μειλιχίοισι προσηύδα ποιμένα λαῶν· |
»ἦ ῥά νύ μοι ξεῖνος πατρώιος ἐσσι παλαιός· 215
ϝοινεὺς γάρ ποτε δῖος ἀμύμονα Βελλεροφόντην
ξείνισ' ἐνὶ μεγάροισιν ἐϝείκοσιν ἤματ' ἐρύξας·
οἳ δὲ καὶ ἀλλήλοισι πόρον ξεινήια καλά·
ϝοινεὺς μὲν ζωστῆρα δίδου φοίνικι φαεινόν,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

Βελλεροφόντης δὲ χρύσεον δέπας ἀμφικύπελλον, 220
καί μιν ἐγὼ κατέλειπον ἰὼν ἐν δώμασ' ἐμοῖσι,
Τυδέα δ' οὐ μέμνημαι, ἐπεί μ' ἔτι τυτθὸν ἐόντα
κάλλιφ', ὅτ' ἐν Θήβῃσιν ἀπώλετο λαὸς Ἀχαιῶν.
τῷ νῦν σοὶ μὲν ἐγὼ ξεῖνος φίλος Ἄργεϊ μέσσῳ
εἰμί, σὺ δ' ἐν Λυκίῃ, ὅτε κεν τῶν δῆμον ἵκωμαι. | 225
ἔγχεα δ' ἀλλήλων ἀλεώμεθα καὶ δι' ὁμίλου·
πολλοὶ μὲν γὰρ ἐμοὶ Τρῶες κλειτοί τ' ἐπίκουροι
κτεινέμεν, ὅν κε θεός γε πόρῃ καὶ ποσσὶ κιχήω,
πολλοὶ δ' αὖ σοὶ Ἀχαιοὶ ἐναιρέμεν, ὅν κε δύνηαι.
τεύχεα δ' ἀλλήλοισ' ἐπαμείψομεν, ὄφρα καὶ οἵδε 230
γνῶσιν ὅτι ξεῖνοι πατρώιοι εὐχόμεθ' ἔμμεν. | »
ὣς ἄρα φωνήσαντε, καθ' ἵππων ἀΐξαντε,
χεῖράς τ' ἀλλήλων λαβέτην καὶ πιστώσαντο.
ἔνθ' αὖτε Γλαύκῳ Κρονίδης φρένας ἐξέλετο Ζεύς,
ὃς πρὸς Τυδεΐδην Διομήδεα τεύχε' ἄμειβε 235
χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων. |
Ἕκτωρ δ' ὡς Σκαιάς τε πύλας καὶ φηγὸν ἵκανεν,
ἀμφ' ἄρα μιν Τρώων ἄλοχοι θέον ἠδὲ θύγατρες
εἰρόμεναι παῖδάς τε κασιγνήτους τε ϝέτας τε
καὶ πόσιας· ὁ δ' ἔπειτα θεοῖσ' εὔχεσθαι ἀνώγειν 240
πάσας ἑξείης· πολλῆσι δὲ κήδε' ἐφῆπτο. |
ἀλλ' ὅτε δὴ Πριάμοιο δόμον περικαλλέ' ἵκανε,
ξεστῇσ' αἰθούσῃσι τετυγμένον,—αὐτὰρ ἐν αὐτῷ
πεντήκοντ' ἔνεσαν θάλαμοι ξεστοῖο λίθοιο,
πλησίοι ἀλλήλων δεδμημένοι· ἔνθα δὲ παῖδες 245
κοιμῶντο Πριάμοιο παρὰ μνηστῇσ' ἀλόχοισι·
κουράων δ' ἑτέρωθεν ἐναντίοι ἔνδοθεν αὐλῆς
δώδεκ' ἔσαν τέγεοι θάλαμοι ξεστοῖο λίθοιο,
πλησίοι ἀλλήλων δεδμημένοι· ἔνθα δὲ γαμβροὶ
κοιμῶντο Πριάμοιο παρ' αἰδοίῃσ' ἀλόχοισιν. 250
ἔνθα ϝοι ἠπόδωρος ἐναντίη ἤλυθε μήτηρ
Λαοδίκην ἐσάγουσα, θυγατρῶν ϝεῖδος ἀρίστην· |
ἓν τ' ἄρα ϝοι φῦ χειρὶ ϝέπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
»τέκνον, τίπτε λιπὼν πόλεμον θρασὺν εἰλήλουθας;
ἦ μάλα δὴ τείρουσι δυσώνυμοι υἷες Ἀχαιῶν 255
μαρνάμενοι περὶ ϝάστυ, σὲ δ' ἐνθάδε θυμὸς ἀνῆκεν,
ἐλθόντ' ἐξ ἄκρης πόλιος Διὶ χεῖρας ἀνασχεῖν. |

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀλλὰ μέν᾽ ὄφρα κέ τοι μελιϝηδέα ϝοῖνον ἐνείκω,
ὡς σπείσῃς Διὶ πατρὶ καὶ ἄλλοισ᾽ ἀθανάτοισι
πρῶτον, ἔπειτα δέ κ᾽ αὐτὸς ὀνήσεαι, αἴ κε πίῃσθα. 260
ἀνδρὶ δὲ κεκμηῶτι μένος μέγα ϝοῖνος ἀϝέξει,
ὡς τύνη κέκμηκας ἀμύνων σοῖσι ϝέτῃσι.» |
τὴν δ᾽ ἠμείβετ᾽ ἔπειτα μέγας κορυθαίολος Ἕκτωρ·
»μή μοι ϝοῖνον ἄειρε μελίφρονα, πότνια μῆτερ,
μή μ᾽ ἀπογνιώσῃς, μένεος δ᾽ ἀλκῆς τε λάθωμαι. 265
χερσὶ δ᾽ ἀνίπτοισιν Διὶ λειβέμεν αἴθοπα ϝοῖνον
ἄζομαι· οὐδέ πῃ ἔστι κελαινεφέι Κρονίωνι
αἵματι καὶ λύθρῳ πεπαλαγμένον εὐχετάασθαι. |
ἀλλὰ σὺ μὲν πρὸς νηὸν Ἀθηναίης ἀγελείης
ἔρχεο σὺν θυέεσσιν ἀϝολλίσσασα γεραιάς· 270
πέπλον δ᾽, ὅς τίς τοι χαριέστατος ἠδὲ μέγιστος
ἔστιν ἐνὶ μεγάρῳ καί τοι πολὺ φίλτατος αὐτῇ,
τὸν θὲς Ἀθηναίης ἐπὶ γούνασιν ἠυκόμοιο,
καί ϝοι ὑποσχέσθαι δυοκαίδεκα βοῦς ἐνὶ νηῷ
ἥνις ἠκέστας ἱερευσέμεν, αἴ κ᾽ ἐλεήσῃ 275
ϝάστυ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα,
αἴ κεν Τυδέος υἱὸν ἀπόσχῃ ϝιλίου ἱρῆς,
ἄγριον αἰχμητήν, κρατερὸν μήστωρα φόβοιο. |
ἀλλὰ σὺ μὲν πρὸς νηὸν Ἀθηναίης ἀγελείης
ἔρχε᾽, ἐγὼ δὲ Πάριν μετείειμι, ὄφρα καλέσσω, 280
αἴ κ᾽ ἐθέλῃ ϝεπόντος ἀκουέμεν· ὡς δέ ϝοι αὖθι
γαῖα χάνοι· μέγα γάρ μιν Ὀλύμπιος ἔτρεφε πῆμα
Τρωσί τε καὶ Πριάμῳ μεγαλήτορι τοῖό τε παισίν.
εἰ κεῖνόν γε ϝίδοιμι κατελθόντ᾽ Ἄϝιδος ἐσω,
φαίην κεν φρέν᾽ ἀτέρτου διζύος ἐκλελαθέσθαι.» | 285
ὣς ἔφαθ᾽, ἡ δὲ μολοῦσα ποτὶ μέγαρ᾽ ἀμφιπόλοισι
κέκλετο· ταὶ δ᾽ ἄρ᾽ ἀϝόλισσαν κατὰ ϝάστυ γεραιάς.
αὐτὴ δ᾽ ἐς θάλαμον κατεβήσετο κηώεντα,
ἔνθ᾽ ἔσαν οἱ πέπλοι παμποίκιλοι, ἔργα γυναικῶν
Σιδονίων, τὰς αὐτὸς Ἀλέξανδρος θεοϝειδὴς 290
ἤγαγε Σιδονίηθεν, ἐπιπλὼς εὐρέα πόντον,
τὴν ὁδόν, ἣν Ἑλένην περ ἀνήγαγεν εὐπατέρειαν.
τῶν ἕν᾽ ἀειραμένη ϝεκάβη φέρε δῶρον Ἀθήνῃ,
ὃς κάλλιστος ἔεν ποικίλμασιν ἠδὲ μέγιστος,
ἀστὴρ δ᾽ ὡς ἀπέλαμπεν· ἔκειτο δὲ νείατος ἄλλων. 295

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

βῆ δ' ἴμεναι, πολλαὶ δὲ μετεσσεύοντο γεραιαί. |
αἳ δ' ὅτε νηὸν ἵκανον Ἀθήνης ἐν πόλι' ἄκρῃ,
τῇσι θύρας ὤιξε Θεανὼ καλλιπάρῃος,
Κισσηΐς, ἄλοχος Ἀντήνορος ἱπποδάμοιο·
τὴν γὰρ Τρῶες ἔθηκαν Ἀθηναίης ἱέρειαν. 300
αἳ δ' ὀλολυγῇ πᾶσαι Ἀθήνῃ χεῖρας ἀνέσχον.
ἡ δ' ἄρα πέπλον ἑλοῦσα Θεανὼ καλλιπάρῃος
θῆκεν Ἀθηναίης ἐπὶ γούνασιν ἠρκέσιμοιο,
εὐχομένη δ' ἠρᾶτο Διὸς κούρῃ μεγάλοιο·
»πότνι' Ἀθηναίη, ῥυσίπτολι, δῖα θεάων, 305
Ϝᾶξον δὴ ἔγχος Διομήδεος, ἠδὲ καὶ αὐτὸν
πρηνέα δὸς πεσέμεν Σκαιῶν προπάροιθε πυλάων,
ὄφρα τοι αὐτίκα νῦν δυοκαίδεκα βοῦς ἐνὶ νηῷ
ἥνις ἠκέστας ἱερεύσομεν, αἴ κ' ἐλεήσῃς
Ϝάστυ τε καὶ Τρώων ἀλόχους καὶ νήπια τέκνα.« 310
ὣς ἔφατ' εὐχομένη, ἀνένευε δὲ Παλλὰς Ἀθήνη. |
ὣς αἱ μὲν ῥ' εὔχοντο Διὸς κούρῃ μεγάλοιο,
Ἕκτωρ δὲ πρὸς δῶματ' Ἀλεξάνδροιο βεβήκει
καλά, τά ῥ' αὐτὸς ἔτευξε σὺν ἀνδράσιν, οἳ τότ' ἄριστοι
ἦσαν ἐνὶ Τροίῃ ἐριβώλακι τέκτονες ἄνδρες, 315
οἵ Ϝοι ἐποίησαν θάλαμον καὶ δῶμα καὶ αὐλὴν
ἐγγύθι τε Πριάμοιο καὶ Ἕκτορος, ἐν πόλι' ἄκρῃ.
ἔνθ' Ἕκτωρ εἰσῆλθε Διὶ φίλος, ἐν δ' ἄρα χειρὶ
ἔγχος ἔχ' ἑνδεκάπηχυ· πάροιθε δὲ λάμπετο δουρὸς
αἰχμὴ χαλκείη, περὶ δὲ χρύσεος θέε πόρκης. | 320
τὸν δ' εὗρ' ἐν θαλάμῳ περικαλλέα τεύχε' ἕποντα,
ἀσπίδα καὶ θώρηκα, καὶ ἀγκύλα τόξ' ἀφόωντα·
Ἀργείῃ δ' Ἑλένῃ μετ' ἄρα δμωῇσι γυναιξὶν
ἥστο καὶ ἀμφιπόλοισι περικλυτὰ Ϝέργα κέλευε.
τὸν δ' Ἕκτωρ νείκεσσε Ϝιδὼν αἰσχροῖσι Ϝέπεσσι· | 325
»δαιμόνι', οὐ μὲν καλὰ χόλον τόνδ' ἔνθεο θυμῷ.
λαοὶ μὲν φθινύθουσι περὶ πτόλιν αἰπύ τε τεῖχος
μαρνάμενοι· σέο δ' εἵνεκ' ἀυτή τε πτόλεμός τε
Ϝάστυ τόδ' ἀμφιδέδηε· σὺ δ' ἂν μαχέσαιο καὶ ἄλλῳ,
ὅν τινά που μεθιέντα Ϝίδοις στυγεροῦ πολέμοιο. 330
ἀλλ' ἄνα, μὴ τάχα Ϝάστυ πυρὸς δηΐοιο θέρηται.« |
τὸν δ' αὖτε προσέϝειπεν Ἀλέξανδρος θεοειδής·
»Ἕκτορ, ἐπεί με κατ' αἶσαν ἐνείκεσας οὐδ' ὑπὲρ αἶσαν,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τοὔνεκά τοι Ϝερέω· σὺ δὲ σύνθεο καί μευ ἄκουσον·
οὔ τοι ἐγὼ Τρώων τόσσον χόλῳ οὐδὲ νεμέσσι 335
ἤμην ἐν θαλάμῳ, ἔθελον δ' ἄχεϊ προτραπέσθαι. |
νῦν δέ με παρϝειποῦσ' ἄλοχος μαλακοῖσι Ϝέπεσσιν
ὥρμησ' ἐς πόλεμον· δοκέει δέ μοι ὧδε καὶ αὐτῷ
λώιον ἔσσεσθαι· νίκη δ' ἐπαμείβεται ἄνδρας. |
ἀλλ' ἄγε νῦν ἐπίμεινον, ἀρήια τεύχεα δύω· 340
ἢ ἴθ', ἐγὼ δὲ μέτειμι· κιχήσεσθαι δέ σ' ὀίω.« |
ὣς φάτο, τὸν δ' οὔ τι προσέφη κορυθαίολος Ἕκτωρ.
τὸν δ' Ἑλένη μύθοισι προσηύδα μειλιχίοισι·
«δᾶερ ἐμεῖο, κυνὸς κακομηχάνοιο, κρυοέσσης,
ὥς μ' ὄφελ' ἤματι τῷ, ὅτε με πρῶτον τέκε μήτηρ, 345
οἴχεσθαι προφέρουσα κακὴ ἀνέμοιο θύελλα
εἰς ὄρος ἢ εἰς κῦμα πολυφλοίσβοιο θαλάσσης,
ἔνθα με κῦμ' ἀπόϝερσε πάρος τάδε Ϝέργα γενέσθαι. |
αὐτὰρ ἐπεὶ τάδε γ' ὧδε θεοὶ κακὰ τεκμήραντο,
ἀνδρὸς ἔπειτ' ὤφελλον ἀμείνονος ἔμμεν ἄκοιτις, 350
ὃς Ϝείδει νέμεσίν τε καὶ αἴσχεα πόλλ' ἀνθρώπων.
τούτῳ δ' οὔτ' ἄρ νῦν φρένες ἔμπεδοι οὔτ' ἄρ' ὀπίσσω
ἔσσονται· τῷ καί μιν ἐπαυρήσεσθαι ὀίω. |
ἀλλ' ἄγε νῦν εἴσελθε καὶ ἕζεο τῷδ' ἐπὶ δίφρῳ,
δᾶερ, ἐπεὶ σὲ μάλιστα πόνος φρένας ἀμφιβέβηκεν 355
εἵνεκ' ἐμεῖο κυνὸς καὶ Ἀλεξάνδροι' ἕνεκ' ἄτης,
οἷσιν ἐπὶ Ζεὺς θῆκε κακὸν μόρον, ὡς καὶ ὀπίσσω
ἀνθρώποισι πελώμεθ' ἀοίδιμοι ἐσσομένοισι.« |
τὴν δ' ἠμείβετ' ἔπειτα μέγας κορυθαίολος Ἕκτωρ·
«μή με κάθιζ', Ἑλένη, φιλέουσά περ· οὐδέ με πείσεις. 360
ἤδη γάρ μοι θυμὸς ἐπέσσυται ὄφρ' ἐπαμύνω
Τρώεσσ', οἳ μέγ' ἐμεῖο πόθην ἀπεόντος ἔχουσιν. |
ἀλλὰ σύ γ' ὄρνυθι τοῦτον, ἐπειγέσθω δὲ καὶ αὐτός,
ὥς κεν ἔμ' ἔντοσθεν πόλιος καταμάρψῃ ἐόντα.
καὶ γὰρ ἐγὼν Ϝοῖκόνδε ἐλεύσομαι, ὄφρα Ϝίδωμαι 365
Ϝοικῆας, ἄλοχόν τε φίλην καὶ νήπιον υἱόν.
οὐ γὰρ Ϝοῖδ', ἢ ἔτι σφιν ὑπότροπος ἥξομαι αὖτις,
ἦ ἤδη μ' ὑπὸ χερσὶ θεοὶ δαμόωσιν Ἀχαιῶν.« |
ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ.
αἶψα δ' ἔπειθ' ἵκανε δόμους εὖ ναιετόωντας, 370
οὐδ' εὗρ' Ἀνδρομάχην λευκώλενον ἐν μεγάροισιν,

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀλλ᾽ ἥ γε ξὺν παιδὶ καὶ ἀμφιπόλῳ ἐυπέπλῳ
πύργῳ ἐφεστήκει γοόωσά τε μυρομένη τε.
Ἕκτωρ δ᾽ ὡς οὐκ ἔνδον ἀμύμονα τέτμεν ἄκοιτιν,
ἔστη ἐπ᾽ οὐδὸν ἰών, μετὰ δὲ δμωῇσιν ἔϝειπεν· 375
»εἰ δ᾽ ἄγε μοι, δμωαί, νημερτέα μυθήσασθε·
πῇ ἔβη Ἀνδρομάχη λευκώλενος ἐκ μεγάροιο;
ἠέ πῃ ἐς γαλόων ἢ εἰνατέρων ἐυπέπλων,
ἢ ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθα περ ἄλλαι
Τρῳαὶ ἐυπλόκαμοι δϝεινὴν θεὸν ἱλάσκονται;« | 380
τὸν δ᾽ αὖτ᾽ ὀτρηρὴ ταμίη πρὸς μῦθον ἔϝειπεν·
»Ἕκτορ, ἐπεὶ μάλ᾽ ἄνωγας ἀληθέα μυθήσασθαι,
οὔτε πῃ ἐς γαλόων οὔτ᾽ εἰνατέρων ἐυπέπλων
οὔτ᾽ ἐς Ἀθηναίης ἐξοίχεται, ἔνθα περ ἄλλαι
Τρῳαὶ ἐυπλόκαμοι δϝεινὴν θεὸν ἱλάσκονται, 385
ἀλλ᾽ ἐπὶ πύργον ἔβη μέγαν Ἰλίου, οὕνεκ᾽ ἄκουσε
τείρεσθαι Τρῶας, μέγα δὲ κράτος ἔμμεν Ἀχαιῶν.
ἣ μὲν δὴ πρὸς τεῖχος ἐπειγομένη ἀφικάνει,
μαινομένῃ ϝεϝικυῖα· φέρει δ᾽ ἅμα παῖδα τιθήνη.«
ἣ ῥα γυνὴ ταμίη, ὃ δ᾽ ἀπέσσυτο δώματος Ἕκτωρ 390
τὴν αὐτὴν ὁδὸν αὖτις ἐὺ κτιμένας κατ᾽ ἀγυιάς. |
εὖτε πύλας ἵκανε διερχόμενος μέγα ϝάστυ
Σκαιάς, τῇ ἄρ᾽ ἔμελλε διεξίμεναι πεδίονδε,
ἔνθ᾽ ἄλοχος πολύδωρος ἐναντίη ἦλθε θέουσα
Ἀνδρομάχη, θυγάτηρ μεγαλήτορος Ἠετίωνος, 395
Ἠετίων, ὃς ἔναιεν ὑπὸ Πλάκῳ ὑληέσσῃ,
Θήβῃ Ὑποπλακίῃ, Κιλίκεσσ᾽ ἄνδρεσσι ϝανάσσων·
τοῦ περ δὴ θυγάτηρ ἔχεθ᾽ Ἕκτορι χαλκοκορυστῇ.
ἥ ϝοι ἔπειτ᾽ ἤντησ᾽, ἅμα θ᾽ ἀμφίπολος κίεν αὐτῇ
παῖδ᾽ ἐπὶ κόλπῳ ἔχουσ᾽ ἀταλάφρονα, νήπιον αὔτως, 400
Ἑκτορίδην ἀγαπητόν, ἀλίγκιον ἀστέρι καλῷ,
τόν ῥ᾽ Ἕκτωρ καλέεσκε Σκαμάνδριον, αὐτὰρ οἱ ἄλλοι
Ἀστυϝάνακτ᾽· οἶος γὰρ ἐρύετο ϝίλιον Ἕκτωρ.
ἣ τοι ὃ μὲν μείδησε ϝιδὼν ἐς παῖδα σιωπῇ· |
Ἀνδρομάχη δέ ϝοι ἄγχι παρίστατο δάκρυ χέουσα, 405
ἔν τ᾽ ἄρα ϝοι φῦ χειρὶ ϝέπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε·
»δαμόνιε, φθείσει σε τεὸν μένος, οὐδ᾽ ἐλεαίρεις
παῖδά τε νηπίαχον καὶ ἔμ᾽ ἄμμορον, ἣ τάχα χήρη
σεῖ᾽ ἔσομαι· τάχα γάρ σε κατακτανέουσιν Ἀχαιοὶ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πάντες ἐφορμηθέντες· | ἐμοὶ δέ κε κέρδιον εἴη 410
σεῦ ἀφαμαρτούσῃ χθόνα δύμεναι· οὐ γὰρ ἔτ' ἄλλη
ἔσται θαλπωρή, εἴ κεν σύ γε πότμον ἐπίσπῃς,
ἀλλ' ἄχε'. | οὐδέ μοι ἔστι πατὴρ καὶ πότνια μήτηρ.
ἦ τοι γὰρ πατέρ' ἁμὸν ἀπέκτανε δῖος Ἀχιλλεύς,
ἐκ δὲ πόλιν πέρσεν Κιλίκων ἐὺ ναιετόωσαν, 415
Θήβην ὑψίπυλον· κατὰ δ' ἔκτανεν Ἠετίωνα,
οὐδέ μιν ἐξενάριξε, σεβάσσατο γὰρ τό γε θυμῷ,
ἀλλ' ἄρα μιν κατέκηε σὺν ἔντεσι δαιδαλέοισιν
ἠδ' ἐπὶ σῆμ' ἔχεεν· περὶ δὲ πτελέας ἐφύτευσαν
νύμφαι ὀρεστιάδες, κοῦραι Διὸς αἰγιόχοιο. 420
οἳ δέ μοι ἑπτὰ κασίγνητοι ἔσαν ἐν μεγάροισιν,
οἳ μὲν πάντες ἰῷ κίον ἤματι Ἅϊδος εἴσω·
πάντας γὰρ κατέπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς
βουσὶν ἔπ' εἰλιπόδεσσι καὶ ἀργεννῆσ' ὀίεσσι.
μητέρα δ', ἣ βασίλευεν ὑπὸ Πλάκῳ ὑληέσσῃ, 425
τὴν ἐπεὶ ἂρ δεῦρ' ἤγαγ' ἅμ' ἄλλοισι κτεάτεσσιν,
αὖψ ὅ γε τὴν ἀπέλυσε λαβὼν ἀπερείσι' ἄποινα,
πατρὸς δ' ἐν μεγάροισι βάλ' Ἄρτεμις ἰοχέαιρα. |
Ἕκτορ, ἀτὰρ σύ μοί ἐσσι πατὴρ καὶ πότνια μήτηρ
ἠδὲ κασίγνητος, σὺ δέ μοι θαλερὸς παρακοίτης. 430
ἀλλ' ἄγε νῦν ἐλέαιρε καὶ αὐτοῦ μίμν' ἐπὶ πύργῳ,
μὴ παῖδ' ὀρφανικὸν θῇς χήρην τε γυναῖκα.
λαὸν δὲ στῆσον παρ' ἐρινεόν, ἔνθα μάλιστα
ἀμβατός ἐστι πόλις καὶ ἐπίδρομον ἔπλετο τεῖχος.
τρὶς γὰρ τῇ γ' ἐλθόντες ἐπειρήσανθ' οἱ ἄριστοι 435
ἀμφ' Αἴαντε δύω καὶ ἀγακλυτὸν Ἰδομενῆα
ἠδ' ἀμφ' Ἀτρεΐδας καὶ Τυδέος ἄλκιμον υἱόν·
ἤ ποθί τίς σφιν ἔνισπε θεοπροπίων ἐὺ ϝειδώς,
ἤ νυ καὶ αὐτῶν θυμὸς ἐποτρύνει καὶ ἀνώγει. » |
τὴν δ' αὖτε προσέϝειπε μέγας κορυθαίολος Ἕκτωρ· 440
« ἦ καὶ ἐμοὶ τάδε πάντα μέλει, γύναι· ἀλλὰ μάλ' αἰνῶς
αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους,
αἴ κε κακὸς ὥς νόσφιν ἀλυσκάζω πολέμοιο·
οὐδέ με θυμὸς ἄνωγεν, ἐπεὶ μάθον ἔμμεναι ἐσθλὸς
αἰεὶ καὶ πρώτοισι μετὰ Τρώεσσι μάχεσθαι, 445
ἀρνύμενος πατρός τε μέγα κλέος ἠδ' ἐμὸν αὐτοῦ.
εὖ γὰρ ἐγὼ τόδε ϝοῖδα κατὰ φρένα καὶ κατὰ θυμόν.

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἔσσεται ἦμαρ, ὅτ᾽ ἄν ποτ᾽ ὀλώλῃ Ϝίλιος ἱρὴ
καὶ Πρίαμος καὶ λαὸς ἐυμμελίεω Πριάμοιο. |
ἀλλ᾽ οὔ μοι Τρώων τόσσον μέλει ἄλγος ὀπίσσω, 450
οὔτ᾽ αὐτῆς Ϝεκάβης οὔτε Πριάμοιο Ϝάνακτος,
οὔτε κασιγνήτων, οἵ κεν πολέες τε καὶ ἐσθλοὶ
ἐν κονίῃσι πέσοιεν ὑπ᾽ ἀνδράσι δυσμενέεσσιν,
ὅσσον σεῦ, ὅτε κέν τις Ἀχαιῶν χαλκοχιτώνων
δακρυόεσσαν ἄγηται ἐλεύθερον ἦμαρ ἀποϜράς. 455
καί κεν ἐν Ἄργε᾽ ἐοῦσα πρὸς ἄλλης ἱστὸν ὑφαίνοις,
καί κεν ὕδωρ φορέοις Μεσσηΐδος ἢ Ὑπερείης
πόλλ᾽ ἀϜεκαζομένη, κρατερὴ δ᾽ ἐπικείσετ᾽ ἀνάγκη.
καί ποτέ τις Ϝείπῃσι Ϝιδὼν κατὰ δάκρυ χέουσαν·
Ἕκτορος ἥδε γυνή, ὃς ἀριστεύεσκε μάχεσθαι 460
Τρώων ἱπποδάμων, ὅτε Ϝίλιον ἀμφεμάχοντο.
ὣς ποτέ τις Ϝερέει· σοὶ δ᾽ αὖ νέον ἔσσεται ἄλγος
χήτεϊ τοιοῦδ᾽ ἀνδρός, ἀμυνέμεν δούλιον ἦμαρ. |
ἀλλά με τεθνηῶτα χυτὴ κατὰ γαῖα καλύπτοι,
πρίν γέ τι σῆς τε βοῆς σοῦ θ᾽ ἑλκηθμοῖο πυθέσθαι.» | 465
ὣς Ϝειπὼν Ϝοῦ παιδὸς ὀρέξατο φαίδιμος Ἕκτωρ.
ἂψ δ᾽ ὁ πάις πρὸς κόλπον ἐυζώνοιο τιθήνης
ἐκλίνθη ϜιϜάχων, πατρὸς φίλου ὄψιν ἀτυχθείς,
ταρβήσας χαλκόν τε ἰδὲ λόφον ἱππιοχαίτην,
δϜεινὸν ἀπ᾽ ἀκροτάτης κόρυθος νεύοντα νοήσας. | 470
ἐκ δ᾽ ἐγέλασσε πατήρ τε φίλος καὶ πότνια μήτηρ.
αὐτίκ᾽ ἀπὸ κρατὸς κόρυθ᾽ εἵλετο φαίδιμος Ἕκτωρ,
καὶ τὴν μὲν κατέθηκεν ἐπὶ χθονὶ παμφανόωσαν,
αὐτὰρ ὃ Ϝὸν φίλον υἱὸν ἐπεὶ κύσε πῆλέ τε χερσίν,
Ϝεῖπεν ἐπευξάμενος Διί τ᾽ ἄλλοισίν τε θεοῖσι· | 475
»Ζεῦ ἄλλοι τε θεοί, δότε δὴ καὶ τόνδε γενέσθαι
παῖδ᾽ ἐμόν, ὡς καὶ ἐγώ περ, ἀριπρεπέα Τρώεσσιν,
ὧδε βίην τ᾽ ἀγαθὸν καὶ Ϝιλίου ἶφι Ϝανάσσειν·
καί ποτέ τις Ϝείποι ,πατρός γ᾽ ὅδε πολλὸν ἀμείνων·
ἐκ πολέμοι᾽ ἀνιόντα· φέροι δ᾽ ἔναρα βροτόεντα 480
κτείνας δήιον ἄνδρα, χαρείη δὲ φρένα μήτηρ.« |
ὣς Ϝειπὼν ἀλόχοιο φίλης ἐν χερσὶν ἔθηκε
παῖδ᾽ ἑϜὸν· ἡ δ᾽ ἄρα μιν κηώδεϊ δέξατο κόλπῳ
δακρυόεν γελάσασα. | πόσις δ᾽ ἐλέησε νοήσας,
χειρί τέ μιν κατέρεξε Ϝέπος τ᾽ ἔφατ᾽ ἔκ τ᾽ ὀνόμαζε· 485

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

»δαιμονίη, μή μοί τι λίην ἀκαχίζεο θυμῷ·
οὐ γάρ τίς μ᾽ ὑπὲρ αἶσαν ἀνὴρ Ἅϊδι προϊάψει·
μοῖραν δ᾽ οὔ τινά φημι πεφυγμένον ἔμμεναι ἀνδρῶν,
οὐ κακόν, οὐδὲ μὲν ἐσθλόν, ἐπεὶ τὰ πρῶτα γένηται.
ἀλλ᾽ εἶς Ϝοῖκον ἰοῦσα τέ᾽ αὐτῆς Ϝέργα κόμιζε, 490
ἱστόν τ᾽ ἠλακάτην τε, καὶ ἀμφιπόλοισι κέλευε
Ϝέργον ἐποίχεσθαι· πόλεμος δ᾽ ἄνδρεσσι μελήσει
πᾶσιν, ἐμοὶ δὲ μάλιστα, τοὶ Ϝιλίῳ ἐγγεγάασιν.« |
ὣς ἄρα φωνήσας κόρυθ᾽ εἵλετο φαίδιμος Ἕκτωρ,
ἵππουριν· ἄλοχος δὲ φίλη Ϝοῖκόνδε βεβήκει 495
ἐντροπαλιζομένη, θαλερὸν κατὰ δάκρυ χέουσα.
αἶψα δ᾽ ἔπειθ᾽ ἵκανε δόμους ἐὺ ναιετόωντας
Ἕκτορος ἀνδροφόνοιο, κίχήσατο δ᾽ ἔνδοθι πολλὰς
ἀμφιπόλους, τῇσιν δὲ γόον πάσῃσιν ἐνῶρσεν.
αἳ μὲν ἔτι ζωὸν γόον Ἕκτορα Ϝῷ ἐνὶ Ϝοίκῳ· 500
οὐ γάρ μιν ἔτ᾽ ἔφαντο ὑπότροπον ἐκ πολέμοιο
ἵξεσθαι προφυγόντα μένος καὶ χεῖρας Ἀχαιῶν. |

οὐδὲ Πάρις δήθυνεν ἐν ὑψηλοῖσι δόμοισιν,
ἀλλ᾽ ὅ γ᾽, ἐπεὶ κατέδυ κλυτὰ τεύχεα, ποικίλα χαλκῷ,
σεύατ᾽ ἔπειτ᾽ ἀνὰ Ϝάστυ ποσὶ κραιπνοῖσι πεποιθώς. 505
ὡς δ᾽ ὅτε τις σιατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνῃ,
δεσμὸν ἀποῤῥήξας θείῃ πεδίοιο κροαίνων,
εἰωθὼς λούεσθαι ἐυῤῥεέος ποταμοῖο,
κυδιόων· ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται
ὤμοισ᾽ ἀίσσονται· ὅ δ᾽ ἀγλαΐηφι πεποιθώς, 510
ῥίμφα Ϝε γοῦνα φέρει μετά τ᾽ ἤθεα καὶ νομὸν ἵππων·
ὣς υἱὸς Πριάμοιο Πάρις κατὰ Περγάμου ἄκρης,
τεύχεσι παμφαίνων ὥς τ᾽ ἠλέκτωρ ἐβεβήκει
καγχαλόων, ταχέες δὲ πόδες φέρον. αἶψα δ᾽ ἔπειτα
Ἕκτορα δῖον ἔτετμεν ἀδελφεόν, εὖτ᾽ ἄρ᾽ ἔμελλε 515
στρέψεσθ᾽ ἐκ χώρης, ὅθι Ϝῇ ὀάριζε γυναικί.
τὸν πρότερος προσέϝειπεν Ἀλέξανδρος θεοϝειδής·
»ἠθεῖ᾽, ἦ μάλα δή σε καὶ ἐσσύμενον κατερύκω
δηθύνων, οὐδ᾽ ἦλθον ἐναίσιμον, ὡς ἐκέλευες.« |
τὸν δ᾽ ἀπαμειβόμενος προσέφη κορυθαίολος Ἕκτωρ. 520
»δαιμόνι᾽, οὐκ ἄν τίς τοι ἀνήρ, ὃς ἐναίσιμος εἴη,
Ϝέργον ἀτιμάσσειε μάχης, ἐπεὶ ἄλκιμός ἐσσι·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἀλλὰ Ϝεκὼν μεθιεῖς τε καὶ οὐκ ἐθέλεις· τὸ δ' ἐμὸν κῆρ
ἄχνυται ἐν θυμῷ, ὅθ' ὑπὲρ σέθεν αἴσχε' ἀκούω
πρὸς Τρώων, οἳ ἔχουσι πολὺν πόνον εἵνεκα σεῖο. 525
ἀλλ' ἴομεν· τὰ δ' ὄπισθεν ἀρεσσόμεθ', αἴ κέ ποθι Ζεὺς
δώῃ ἐπουρανίοισι θεοῖσ' αἰειγενέτῃσι
κρητῆρα στήσασθαι ἐλεύθερον ἐν μεγάροισιν,
ἐκ Τροίης ἐλάσαντας ἐυκνήμιδας Ἀχαιούς.« |

II.

1-4 οἰόω (οἶος) ἀπομονῶ, **οἰώθη** (τῶν θεῶν), **αἰνὸς** 3 δεινός, **φύλοπις**-ιδος θ. (φῦλον-ὄψ ὀπός, νοϊ φωνὴ) (κραυγὴ τῶν λαῶν) θορυβώδης μάχη, **ἄρα** ἀκολούθως, **ἰθύω** (ἰθὺς 3 εὐθὺς) προχωρῶ κατ' εὐθεῖαν, **πολλὰ . . .** πολλὰς διευθύνσεις ἔλαβεν, **ἔνθα καὶ ἔνθα** τῇδε κἀκεῖσε, **πεδίοιο** γεν. τοπ. ἐν τῇ πεδιάδι, δηλοῦσα χῶρον, διὰ μέρους τοῦ ὁποίου γίνεται κίνησις, **ἰθύνω** διευθύνω· διὰ τί τὸ μέσον; **ἀλλήλων** ἀντκμ. εἰς τὸ ἰθυνομένων, ἔχον τὴν ἔννοιαν τοῦ στοχάζεσθαι, ὑπ. Τρώων καὶ Ἀχαιῶν, **δόρυ** (ξύλον) κοντάριον τοῦ δόρατος καὶ ὅλον τὸ δόρυ (δόρϝ-, δόρϝ-α, δόρρα, δοῦρα), **χαλκήρης** 2 (χ.-ἀρυρίσκω) συνηρμοσμένος μετὰ χαλκοῦ, χαλκόδετος, **μεσσηγὺς** (μέσσος) μεταξύ, **ῥοάων** διὰ τὴν τομὴν μόνον μετὰ τοῦ Ξάνθοιο.— **5-11 πρῶτος** μετὰ τὴν ἀποχώρησιν τῶν θεῶν, **ἕρκος** (ἐέργω, εἴργω) (φραγμὸς) προπύργιον, **φάλαγξ**, -γγες τάξεις στρατοῦ εἰς μάχην παρατεταγμένου, **φόως** φῶς, σωτηρία, χαρά, **ἕταρος** κ. ἑταῖρος, **ῥῆξεν-ἔθηκεν** παρατακτ. σύνδεσις ἀντί; **βαλὼν** εἰς τὸ ῥῆξε, τίς μετοχή; τίς ἡ ἔννοια τοῦ **βάλλειν**; **τεύχω, τέτυγμαι** εἶμαι, **μέγας** πελώριος, **τόν ῥα** αὐτὸν λοιπόν, **ἔβαλε** ἐπαναλαμβάνει τὸ βαλὼν 7, **πρῶτος** τὸ ἐν 5, **φάλος** ἀ. προεξοχὴ τοῦ κράνους κερατοειδής, ὡς φαίνεται καὶ ἐν ταῖς γραφαῖς τοῦ Μυκηναϊκοῦ ἀγγείου τῶν πολεμιστῶν, **κόρυς** -υθος θ. κράνος, **ἱπποδάσεια** θ. ἐπίθ. ἡ ἔχουσα ὡς λόφον πυκνὴν οὐρὰν ἵππου, **πῆξε** (δόρυ), **πέρησε δ' ἄρα** ὡς συνέπεια, **αἰχμή**, ἀκίς, ἀκή, ἀκωκή, ἀκόνη, ac-er, **σκότος** (τοῦ θανάτου), **ὄσσε** δυϊκ. (oculus) ὀφθαλμοί.—**12-19 ἔπεφνεν** ἀόρ. β'. μετ' ἀναδιπλ. ἐκ τοῦ ***φένω** φονεύω (φεν-, πέφενον, πέφ(ε)νον), **βοὴν ἀγαθὸς** βροντόφωνος, **Τευθρανίδης** υἱὸς τοῦ Τεύθραντος, ἀντὶ Τευθραντίδης, **ἐὺ κτίμενος** καλῶς ἐκτισμένος, ἔχων ὡραίας οἰκοδομάς, **ἀφνειὸς** (ἄφενος ὁ ἢ τό, πλοῦτος, op-es, opulentus...) πλούσιος, **βίοτος** ἀ. τὰ πρὸς τὸ ζῆν, περιουσία (βιός), **ἔεν** ἦν, **φιλέεσκε** θαμ. τοῦ **φιλέω**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

φιλεύω, ξενίζω, **τὰ οἰκία** (μόνον πληθ.) ἡ οἰκία (σύνολον οἰκημάτων ἀποτελούντων τὴν κατοικίαν), **ὁδῷ ἔπι** παρὰ τὴν ὁδόν, **ἐπὶ τῆς ὁδοῦ** ὅπως ἡ Καπνικαρέα ἐν Ἀθήναις, **ναίω** κ. *ναιετάω* κατοικῶ *(μετα-νάσ-της, ναός)*, **τῶν γε** (τῶν ξενισθέντων), **ἀρκέω** (arce-o) ἀποσοβῶ, **οἶ** ἠθ., **λυγρὸς** 3 (lug-eo πενθῶ) πικρός, θλιβερός, **πρόσθεν** (Ἀξύλου), **ὑπαντιάζω** ἀντεπεξέρχομαι (Διομήδεϊ), **ἀποϝράω,** πρτκ. *ἀπέϝρων* ἐν σημ. ἀορ., μτχ. ἀόρ. **ἀποϝράς,** ὡς *ἀπέδραν, ἀποδράς,* ἀφαιρῶ· διὰ τί πρὸς διπλῆν αἰτ.; **ἔσκεν** ἦν, **ὑφηνίοχος** ἡνίοχος, **γαῖαν ἐδύτην** αἱ ψυχαὶ κατῆλθον πρὸς τὸν κάτω κόσμον.—*20-8* **ἐξεναρίζω,** *ἐναρίζω* κ. *ἐναίρω* φονεύω (σκυλεύω, *ἔνα*ρα σκῦλα), **μετὰ** + αἰτ. πρός, **νηΐς**-ίδος θ. (ναῦς, ναϊάς, *νάω* τρέχω, ῥέω) νύμφη τῶν γλυκέων ὑδάτων, **ἀμύμων**(*α*-(στ.) *-μῶμος,* αἰολ. *ἀμύμων)* ἄψογος, ἐξαίρετος: μὲ τὸν Βουκολίωνα, **ἀγαυὸς** 3 (*α*(ἐπιτ.)-*γαίω* γαυριῶ, *γαϝ-, γαῦρος,* gaudeo) εὐγενής, ἐπιφανής, **γενεὴ** ἡλικία, **σκότιος** 3 ὁ μυστικά, ἐκ μὴ νομίμου γάμου γεννηθεὶς (ἐκ κλεψιγαμίας), κτγρ., **γείνομαι** γεννῶμαι, *γεινάμην* ἐγέννησα, **ὄις** (ovis) ὁ, ἡ, **ἐπ' ὄισσι** ἐπάνω εἰς τὰ πρόβατα, καθ' ὃν χρόνον ἔβοσκε τὰ πρόβατα, **μίγη** (τῇ νύμφῃ), π. ἀόρ. β'. τοῦ *μείγνυσθαι,* **φιλότης** ἔρως, **εὐνὴ** ἡ κλίνη, **ὑποκύομαι** (*κυέω, κύω, κῦμα, κύστις, κύλιξ, κύπη* κλπ.) γίνομαι ἔγκυος, **διδυμάων**-ονος κ. *δίδυμος (δύο* μετ' ἀναδιπλ.), **καὶ** (ἐπιδ.) τῶν, **μὲν** μήν, ὄντως, **ὑπολύω** παραλύω (κάτω εἰς τὰ γόνατα· διότι *γυῖα λύειν* γούνατα λ.), **μένος** (ἡ ζωικὴ) δύναμις, **γυῖα** (μόνον πληθ.) τὰ μέλη τοῦ σώματος, **φαίδιμος** 2 *(φάος)* λαμπρός, εὐτραφής, **Μηκιστηιάδης** 20, υἱὸς τοῦ Μηκιστέως, **τεῦχος**, μόνον πληθ. *τεύχεα (τεύχω* κατασκευάζω) (σύνεργα) ὅπλα, **συλάω** σκυλεύω (ἱερόσυλος).—*29-36* **μενεπτόλεμος** 2 (πρβλ. *πτόλις, πτολίεθρον)* ὁ καρτερικὸς ἐν τῷ πολέμῳ, **ἔγχος** οὐ. κ. *ἐγχεΐη* δόρυ, (κυρίως: ἡ λόγχη τοῦ δόρατος), **ἐνήρατο** τοῦ *ἐναίρω,* **ἐυρείτης** ὁ *(ἐὺ-ῥέων),* **αἰπεινὸς** αἰπύς, ὑψηλὸς καὶ ἀπόκρημνος.—*37-44* **βοὴν ἀγαθός ; ζωὸς** 3, **ἀτύζομαι** φεύγω περίτρομος. **οἶ** ἠθ., **πεδίοιο** τοπ., **ὄζος** ἀ. κλάδος, **μυρίκινος** τῆς μυρίκης (θάμνου φυομένου εἰς ἑλώδη μέρη καὶ παράλια, μυστικιᾶς, ἁρμυρίκης), **βλάπτομαι** περιπλέκομαι, **ἀγκύλος** 3 (ἀγκὼν) καμπύλος, **ἄξαντ'(ε)**, ἄγνυμι, **ῥυμὸς** *(ῥύω, ἐρύω* σύρω) τὸ τημόνι, **πρώτῳ** κτγρ.: ἐν τῷ (προσθίῳ) ἄκρῳ τοῦ ῥ., **αὐτὼ** ἐν ἀντιθ. πρὸς τὸ ἅρμα, **ᾗπερ** ὅπου ἀκριβῶς, **φοβέομαι** (ἀείποτε παρ' Ὁμ.) φεύγω, **αὐτὸς** ἀντίθ. πρὸς τοὺς ἵππους, **δίφρος** *(δύο φέρων)* τὸ ὄχημα τοῦ ἅρματος, **κονίη** θ. κονιορτός, **ἐπὶ στόμα** ἐπίστομα·

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

ἡ μτχ. ἄξαντε εἰς τὸ ἐβήτην, ἡ μ. βλαφθέντε εἰς τὸ ἄξαντε, ἀτυζομενω εἰς τὸ βλαφθέντε· τί εἶναι αἱ μετοχαί; ἐν τῇ μεταφράσει καλὸν ἡ ἑτέρα νὰ ἀναλύηται καὶ ἡ ἑτέρα νὰ μένῃ· **πὰρ** ἐπίρ.· ὑπὸ τῶν ὕστερον ἐνομίσθη ὡς πρόθεσις χωρισθεῖσα τοῦ ἔστη καὶ τὸ φαινόμενον ἐκλήθη **τμῆσις· δολιχόσκιος** (δολιχὸς 3 μακρὸς-σκιὰ) μακρόσκιος, μακρός.—45-50 **λαβὼν** γούνων, **λίσσομαι,** ἀόρ. ἐλισάμην κ. ἐλιτόμην, παρακαλῶ (λιτὴ δέησις, λιτανεύω-νεία), **ζωγρέω** (ζωὸν-ἀγρεύω, ἄγρα), **ἄξιος** 3 (ἄγω ζυγίζω) ἴσου βάρους, ἴσης ἀξίας (πρὸς τὴν ἀξίαν τοῦ προσώπου), ἰσάξιος, **ἄποινα** (α (στ.)-ποινὴ) λύτρα, **ἐν** (δόμῳ) πατρός, **ἀφνειός; χαλκὸς** χαλκᾶ σκεύη, ὁμοίως **χρυσός, πολύκμητος** (π. - κάμνω) δυσκατέργαστος, **τῶν** διαιρ., **ἀπερείσιος** 3 ἄπειρος **εἴ κεν** ὁ κὲν ἐν τῇ ὑποθέσει κολάζει τὴν βεβαιότητα, **ζωὸν** ἐπὶ νηυσί, ὅπου ὁ Μ. θὰ ἔστελλεν αὐτόν, ἐὰν ἐφείδετο τῆς ζωῆς του.—51-4 **ἔπειθεν** ἀποπείρας ἢ ἤρχιζε νὰ πείθῃ, **δὴ** ἤδη, **ἔμελλε** προυτίθετο, διενοεῖτο, **θοὸς** (θέω) ταχύς, ταχύπους, **ᾧ** ἕῳ, **καταξέμεν** ἐπ. ἀόρ. μεικτὸς μετὰ τοῦ σ τοῦ α΄. καὶ τοῦ θεματ. φωνήεντος τοῦ β΄., ἡ **κατὰ** κάτω εἰς τὰ ἐν τῇ ἀκτῇ πλοῖα, **ὁμοκλά(έ)ω** (ὁμοκλὴ θ. (ὁμο-ἐπιτ., πρβλ. τὸ λατ. conclamo)-κ(έ)λομαι δυνατὴ φωνὴ) δυνατὰ φωνάζω, **αὐδάω;**—55-60 **πέπων-ονος** (πέσσω ψήνω, πέψις) (ὥριμος)· ἡ κλητ. καλέ, φίλε· ἒ φίλε! ἒ Μενέλαε! **τί ἦ δὲ** ἀλλὰ διὰ τί λοιπόν, **οὕτως** ὡς βλέπω, **πρὸς Τρώων** ποιητ. αἴτ., **αἰπὺς** ὄλεθρος ὁ ταχύς, αἰφνίδιος, ἄφευκτος, παντελής, **μηδ'** (ἐκεῖνος), ὅν τινα· ἡ φράσις ἐπιτείνει τὸ μή τις· **κοῦρος** ἄρρην, **γαστέρι** τοπ., **μηδ' ὃς** μηδὲ οὗτος (ἐπαναλαμβάνει τὴν ἐν 57 ἔννοιαν), **ἅμα πάντες** ἁπαξάπαντες, **Ἰλίου** ἡ γεν. ἐξαρτᾶται ἐκ τῆς ἐν τῷ ἐξαπολοίατο πρώτης προθέσεως, **ἀκήδεστος** 2 (ἀκηδής, ἀκηδέω, α (στ.) -κήδομαι) ἐκεῖνος, διὰ τὴν ταφὴν (κηδείαν) τοῦ ὁποίου οὐδεμία ἐλήφθη φροντίς, ἄταφος, **ἄφαντος** 2 ὁ μηδὲν καταλείπων ἴχνος, ὃν οὐδεὶς τάφος ὑπενθυμίζει.—61-65 **ἀδελφε(ι)ός,** ἀδελφός, ἀδελφεός, ἐξ οὗ ἀδελφοῦ, **αἴσιμος** 3,2 (αἶσα (aequus) ἴση μερίς, (μοῖρα) προσῆκον, δίκαιον) πρέπων, ὀρθός, **παράφημι** συμβουλεύω, **ἔθεν** ἕο, οὗ, προσωπ. ἀντ., **κρείων-οντος** ἄναξ, **οὐτά(ζ)ω,** ἀόρ. ἢ πρτκ. οὔτα, οὐτάμεναι ὡς ἐξ οὔτημι, κτυπῶ ἐκ τοῦ συστάδην (δι' ἀγχεμάχων ὅπλων), ἀντίθετον τὸ **βάλλω** (πόρρωθεν), **λαπάρη**(-α) θ. τὸ μαλακὸν (κενὸν ὀστῶν) μέρος τοῦ σώματος μεταξὺ πλευρῶν καὶ ἰσχίου, αἱ λαγόνες (λαπαροτομία), **λὰξ** (βὰς) (λατ. calx, calcar) διὰ λακτίσματος, πατῶν διὰ τοῦ ποδὸς (καὶ παρ' ἡμῖν: πὺξ λάξ, λακτίζω), **μείλινος** ἀντὶ μέλινος 3 ἐκ με-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λίας, δένδρου (παρ' ἡμῖν τὸ δένδρον μέλεγος), οὗ οἱ κλάδοι εὐθύτατοι, χρησιμοποιούμενοι πρὸς κατασκευὴν τῶν κονταρίων τῶν δοράτων. —*66-71* **κέλ-ομαι**, κελήσομαι, κε-κ(ε)λόμην, (κελεύω) προτρέπω, ἐνθαρρύνω, **αὔω** ἄυσα (**ἄημι** πνέω,, ἀήρ, ἄνεμος, ἄελλα, αὔρα, αἰο) φωνάζω (ἰσχυρότερον τοῦ φωνῶ) (ἐκ τούτου αὐδή, αὐδάω κλπ.), **μακρὸν** μεγαλοφώνως, **θεράπων** (θέρ-ω, θερ-μαίνω, θάλπω) ὁ ἐν τῇ ὑπηρεσίᾳ τινός, ἑταῖρος, σύντροφος, **ἔναρα ;**, **ἐπιβάλλομαι** ῥίπτομαι ἐπάνω, **μίμνω** (μι-μένω) μένω, **ὥς κεν** ἵνα, **πλεῖστα** τὰ πλεῖστα (ἐν συγκρίσει πρὸς πάντας τοὺς ἄλλους), **ἔκηλος** (ἑκὼν) ἥσυχος, ἀνενόχλητος, **συλάω** μετὰ διπλ. αἰτ,, **ἅμ** ἀνά, **τεθνηῶτας** ἀναφέρεται εἰς τὸ ἔκηλοι : ὅταν νεκροὶ θὰ κεῖνται ἐκεῖ.

Εἰσαγωγὴ εἰς τὸ Ζ. Τὰ μεταξὺ Α-Ζ. Μετὰ τὴν ὑπόσχεσιν τοῦ Διὸς πρὸς ἱκανοποίησιν τοῦ Ἀχιλλέως ὁ Ἀγαμέμνων διατάσσει διὰ κηρύκων τοὺς Ἀχαιοὺς νὰ ὁπλισθῶσι πρὸς μάχην· συγχρόνως καὶ οἱ Τρῶες ἑτέρωθεν παρασκευασθέντες ἀντεπεξέρχονται εἰς τὸ πεδίον. Ἀλλ' ἐν ᾧ τὰ δύο στρατεύματα ἦσαν ἀντιμέτωπα, ὁ Ἕκτωρ ἀνακοινοῖ ὅτι ὁ Πάρις προτείνει μονομαχίαν πρὸς τὸν Μενέλαον ἐπὶ τῷ ὅρῳ ὁ νικητὴς νὰ ἔχῃ τὴν Ἑλένην καὶ τοὺς θησαυρούς. Γενομένων ἑκατέρωθεν ὅρκων ἐπὶ τούτοις ἡττᾶται ὁ Πάρις ἐν τῇ μονομαχίᾳ, ἀλλ' ἀφαρπασθεὶς ὑπὸ τῆς Ἀφροδίτης σῴζεται εἰς τὸν ἴδιον οἶκον (Γ). Ἀλλ' ἀντὶ οἱ Τρῶες νὰποδώσωσι κατὰ τοὺς ὅρκους τὴν Ἑλένην ὁ Πάνδαρος τραυματίζει διὰ βέλους τὸν Μενέλαον καὶ οὕτως ἐπιορκησάντων τῶν Τρώων, ὁ Ἀγαμ. ἐπιθεωρήσας τὰς τάξεις τοῦ στρατοῦ συνάπτει φονικὴν μάχην πρὸς τοὺς πολεμίους, καθ' ἣν πολλοὶ ἑκατέρωθεν ἔπεσον (Δ). Ἐν τῇ μάχῃ ταύτῃ ἀριστεύει ὁ Διομήδης, ὅστις βοηθούμενος ὑπὸ τῆς Ἀθηνᾶς, ἥτις μετὰ τῆς Ἥρας εἶχεν ἔλθει πρὸς βοήθειαν τῶν Ἀχαιῶν, τραυματίζει τοὺς συμμάχους τῶν Τρώων, Ἀφροδίτην καὶ Ἄρην (Ε). Εὑρισκόμεθα λοιπὸν ἐν τῇ πρώτῃ ἡμέρᾳ τῆς μάχης.

1 **οἰώθη** οἱ μὲν σύμμαχοι τῶν Τρώων Ἀφροδίτη καὶ Ἄρης τραυματισθέντες ὑπὸ τοῦ Διομήδους ἀπεχώρησαν εἰς τὸν Ὄλυμπον καὶ πρὸ αὐτῶν ὁ Ἀπόλλων εἰς τὴν ἀκρόπολιν τοῦ Ἰλίου, αἱ δὲ σύμμαχοι τῶν Ἀχαιῶν Ἥρα καὶ Ἀθηνᾶ μετὰ τὴν ἀποχώρησιν τοῦ Ἄρεως ἀπεχώρησαν καὶ αὐταί.—*3* **χαλκήρεα**· περὶ χαλκοῦ ἰδ. Α 236.—**δοῦρα· ἔγχος, ἐγχείη κ. δόρυ** ὅπλον ἐπιθετικὸν ἀποτελούμενον 1) ἐκ τῆς λόγχης, **αἰχμῆς,** καὶ 2) ἐκ τοῦ κυρίου **δόρατος** (κονταρίου), ἔχον ἐν συνόλῳ μῆκος 2-5 μ. καὶ χρησιμεῦον πρὸς βολὴν ἢ ὦθιν. Ἡ λόγχη ἔφερε πρὸς τὸ κάτω μέρος σωλῆνα, τὸν **αὐ-**

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

λὸν (οἷον φέρουσι περίπου καὶ τὰ πτύα), εἰς ὃν εἰσήρχετο τὸ ἄνω ἄκρον τοῦ δόρατος (κονταρίου), ἐν ᾧ τὸ κάτω ἄκρον αὐτοῦ ἀπέληγε πολλάκις εἰς χαλκοῦν ὀβελόν, καλούμενον *σαυρωτῆρα* ἢ *οὐρίαχον*, δι' οὗ ἐνεπηγνύετο τὸ δόρυ εἰς τὴν γῆν, ὁσάκις δὲν ἐχρησιμοποιεῖτο (πρβλ. τὸν ἀνάλογον ὀβελόν, ὃν φέρουσι πολλάκις αἱ σημεριναὶ ὁδοιπορικαὶ καὶ ποιμενικαὶ ῥάβδοι). Σαυρωτῆρα φέρει τὸ δόρυ τοῦ τρίτου ἀπ' ἀριστερῶν μαχητοῦ ἐν τῷ λεγομένῳ ἀγγείῳ τῶν πολεμιστῶν Πίν. Θ'. Ἐν Μυκήναις εὑρέθη λόγχη δόρατος φέρουσα ἐπὶ τοῦ αὐλοῦ δακτύλιον, ἐξ οὗ κατὰ τὰς πορείας ἐξηρτᾶτο θύλακος φέρων τὰ ἐφόδια τοῦ μαχητοῦ, οἷον βλέπομεν καὶ ἐν τῷ ἀγγείῳ τῶν πολεμιστῶν φερόμενον ὑφ' ἑκάστου μαχητοῦ, ΑΑΜ ἐν Μυκ. Αἰθ. *18* 215.—*4* ***Σιμόεις*** ποταμὸς ἐν Τρῳάδι πηγάζων ἐκ τῆς Ἴδης καὶ εἶτα ἑνούμενος μετὰ τοῦ Σκαμάνδρου, ὅστις κατὰ τὴν γλῶσσαν τῶν θεῶν Α 404 ἐκαλεῖτο Ξάνθος, πηγάζων καὶ αὐτὸς ἐκ τῆς Ἴδης, καὶ ἡνωμένος μετὰ τοῦ Σιμόεντος ἐκβάλλει εἰς τὴν θάλασσαν παρὰ τὸ ἀκρωτήριον Σίγειον, ἀφ' οὗ μετέβαλε κοίτην Πίν. Α'. 1.—*5* ***Αἴας Τελαμώνιος*** Α 138 πρὸς διάκρισιν τοῦ ὁμωνύμου Αἴαντος τοῦ Ὀιλέως, ἡγεμόνος τῶν Λοκρῶν, καλουμένου *μείονος* ἐν ἀντιθέσει πρὸς τὸν πρῶτον, καλούμενον *μέγαν*.—*8* ***Ἀκάμας*** ἡγεμὼν τῶν Θρᾳκῶν.—*9* ***κόρυς*** εἶναι ἐκ τῶν πρωτογονωτάτων ὅπλων, λαβοῦσα τὴν ἀρχὴν ἐκ τοῦ ἀρχεγόνου ὁπλισμοῦ τοῦ ἀνθρώπου διὰ δέρματος ζῴου ἢ θηρίου· ἐὰν λ. χ. ὁ μαχητὴς εἶχε περιβληθῆ δορὰν βοός, ἡ κεφαλὴ τοῦ δέρματος θὰ περιεκάλυπτε τὴν κεφαλὴν τοῦ μαχητοῦ, τὸ χάσμα τοῦ στόματος θὰ ἄφηνεν ἐλεύθερον τὸ πρόσωπον αὐτοῦ, ἐμπρὸς θὰ προέβαλλον τὰ δύο κέρατα τοῦ βοὸς καὶ ἄνω κατὰ τὸ μέσον θὰ προεῖχον αἱ τρίχες τῆς χαίτης τοῦ ζῴου, ἐν ᾧ αἱ παρειαὶ τῆς κεφαλῆς τοῦ δέρματος θὰ ἐκάλυπτον τὰς παρειὰς καὶ τὰς σιαγόνας τοῦ ἀνδρὸς Πίν. Ε'. 1. Ἡ ὁμηρ. κόρυς εἶναι πῖλος δερμάτινος κωνοειδὴς (ἴσως ἀποκλειστικῶς τὸ πάλαι ἐκ δέρματος κυνός, ὅθεν ἡ κόρυς ***κυνέη*** καὶ *κυνέη ταυρείη*, ἐὰν ἦτο ἐκ δέρματος ταύρου), καλύπτων μέρος τοῦ μετώπου καὶ ὅλον τὸ ἄνω μέρος τῆς κεφαλῆς μετὰ τῶν κροτάφων, ὅστις, ἵνα μὴ καταπέσῃ ἐκ ταχείας κινήσεως, συγκρατεῖται ἐπὶ τῆς κεφαλῆς διὰ τοῦ *ὀχέως*, πλατέος ἱμάντος, κατερχομένου πρὸ τῶν ὤτων κάτωθεν τοῦ πώγωνος, ὅστις ἐὰν ἦτο χαλκήλατος (καλυπτόμενος διὰ χαλκῶν πετάλων), ἡ κόρυς ἐκαλεῖτο *χαλκοπάρηος*. Ὁ ὀχεὺς ἦτο περιττός, ἐὰν ἡ κόρυς εἶχε τὸ σχῆμα τοῦ λεγομένου Κορινθιακοῦ κράνους, ὅπερ εἶχε προσωπίδα καλύ-

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

πτουσαν καὶ τὰς παρειὰς καὶ καθιστῶσαν περιττὸν τὸν ἱμάντα Πίν. Γ΄. 5, ἄδηλον ὅμως ἂν ἡ τοιαύτη κόρυς ἦτο ἐν χρήσει ἐν τῷ ἡρωικῷ αἰῶνι. Ἡ κόρυς ἐν τῇ κορυφῇ (*κόρυς ἀκροτάτη* Z 470) ἀπολήγει εἰς κομβίον (κῶνον) πλατὺ κοῖλον, ἐξ οὗ ἐκφύονται τρίχες οὐρᾶς ἢ χαίτης ἵππου Πίν. Γ΄. 2 (*κόρυς ἵππουρις, ἱππόκομος κ. ἱπποδάσεια*) μονόχρωμοι ἢ πολύχρωμοι ἢ νήματα χρυσᾶ ἢ πολύχρωμα, αἱ ὁποῖαι ἀποτελοῦσι τὸν **λόφον** τῆς κόρυθος τὸν ἐμφανίζοντα διὰ τῶν κινήσεων αὐτοῦ δεινὸν τὸν μαχητήν. Κατὰ τὴν προσθίαν πλευρὰν ἡ κόρυς φέρει σωληνοειδεῖς κερατώδεις προεξοχάς, ὡς ἀκριβῶς οἱ προέχοντες ὀφθαλμοὶ τοῦ κοχλίου, τοὺς **φάλους**, ἐξ ὧν ἡ κόρυς ἡ φέρουσα δύο τοιούτους ἐμπρὸς ἀμφοτέρωθεν καλεῖται **ἀμφίφαλος** Πίν. Γ΄. 2, ἡ δὲ ἔχουσα 4 φάλους, ἀνὰ 2 ἔμπροσθεν καὶ ὄπισθεν, **τρυφάλεια** (τετράφαλος)· ἠδύνατο ὅμως ἡ κόρυς νὰ φέρῃ καὶ ἕνα μόνον φάλον ἐμπρός· ἐχρησίμευον δὲ οἱ φάλοι τὸ μὲν πρὸς ἐπίρρωσιν τῆς κόρυθος, τὸ δὲ ἴσως καὶ ὡς ἀποτροπιάσματα (φυλακτα). Ἐπίσης πρὸς ἐπίρρωσιν τῆς ἀμυντικότητος τῆς κόρυθος καὶ ὡς κοσμήματα ἐχρησίμευον καὶ τὰ **φάλαρα**, δίσκοι μετάλλινοι ἐφηρμοσμένοι ἐπὶ τοῦ κώνου τῆς κόρυθος Πίν. Γ΄. 2 (τὰ λευκὰ στίγματα). Ἐπίσης ἡ κόρυς στερουμένη προμετωπίου καὶ καταυχενίου γείσου ἔφερε πρὸς ἐπίρρωσιν τὴν **στεφάνην**, κρίκον μετάλλινον περιστέφοντα ὡς κράσπεδον τὴν κόρυν κάτω περὶ τὸ μέτωπον, τοὺς κροτάφους καὶ τὸ ὄπισθεν τῆς κεφαλῆς Πίν. Γ΄. 1 ἐν τῇ εἰκόνι τῆς Ἀθηνᾶς.—*12* **βοὴν ἀγαθὸς** διὰ τὴν ἔλλειψιν σαλπίγγων τὰ παραγγέλματα ἔδει νὰ δίδωνται ὑπὸ τῶν ἡγεμόνων διὰ τοῦ στόματος· ὅθεν ἀρετὴ τοῦ ἡγεμόνος νὰ εἶναι βροντόφωνος. —**Διομήδης** υἱὸς τοῦ Τυδέως (Τυδείδης) βασιλεὺς τοῦ Ἄργους, ἀριστεύσας ἐν τῇ ῥαψῳδίᾳ Ε, ὅπου ἔτρωσε δύο θεούς.—*13* **Ἀρίσβη** π. τῆς Μ. Ἀσίας μεταξὺ Περκώτης καὶ Ἀβύδου.—*15* **πάντας φιλέεσκε** τὸ αὐτὸ ἐλέγετο καὶ περὶ τοῦ Ἀρκάδος Εὐφορίωνος, ὅστις ξενίσας ποτὲ τοὺς Διοσκούρους Κάστορα καὶ Πολυδεύκην ἐξένιζεν ἑκτοτε ἐν τῷ οἴκῳ αὐτοῦ πάντας τοὺς ἀνθρώπους.— [*18* **Καλήσιος** ὡς καλῶν τοὺς ξένους εἴσω εἰς τὸν φιλόξενον οἶκον τοῦ Ἀξύλου.]—*19* **ὑφηνίοχος, ἅρμα**· τὸ ἅρμα ἐν Ἀνατολῇ ἐχρησίμευε κυρίως ὡς πολεμικὸν ὄργανον, ἐν δὲ τοῖς ὁμηρ. ἔπεσιν ὁ τρόπος οὗτος τῆς χρήσεως αὐτοῦ ἀποτελεῖ ἐξαίρεσιν, διότι οἱ ὁμηρ. ἥρωες μάχονται συνήθως πεζοὶ καὶ μόνον ἐν 5 χωρίοις τῆς Ἰλιάδος ὁ ἀγὼν διεξάγεται ἀπὸ ἁρμάτων. Τὸ ἅρμα παρ' Ὁμήρῳ χρησιμεύει μόνον α΄) νὰ φέρῃ τοὺς μαχητὰς ἀπὸ τοῦ στρατοπέδου εἰ

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

τὸ πεδίον τῆς μάχης μέχρι τῆς εὐκαίρου θέσεως, ὅπου κατέρχονται, ἐν ᾧ αὐτὸ ἀναμένει αὐτοὺς ἢ ἐπακολουθεῖ, β') νὰ ἐπιταχύνῃ τὴν φυγὴν τοῦ ἥρωος ἡττωμένου ἢ νὰ διώξῃ συντόνως τὸν φεύγοντα ἀντίπαλον, καὶ γ') νὰ ἀποκομίσῃ τραυματίας. Τὸ ἅρμα ἐσύρετο ὑπὸ δύο ἵππων (κατόπιν ***ξυνωρίς)***, ὧν μόνον ἡ χρῆσις αὕτη ἐγίνετο, ἀσκουμένων δι' εἰδικῆς ἀγωγῆς, διότι πρὸς τὰς ἄλλας οἰκιακὰς ἐργασίας ἐγίνετο χρῆσις βοῶν, ἡμιόνων, ὄνων, ὡς ζῴων καρτερικῶν ἐν χώρᾳ ὀρεινῇ· ὅθεν ἅρμα εἶχον μόνον οἱ εὐγενεῖς, διότι μόνοι οὗτοι ἠδύναντο νὰ τρέφωσιν ἵππους ἀπροσόδους, ἡ δὲ κτῆσις τῶν ἵππων ἐγένετο τὸ γνώρισμα τῆς κοινωνικῆς τάξεως τῶν εὐγενῶν, οἵτινες διὰ τοῦτο ἐκαλοῦντο *ἱππῆες, ἱππόται, ἱππηλάται, ἱππόδαμοι,* διότι οἱ ἵπποι ἦσαν τὸ κύριον χαρακτηριστικὸν τοῦ ἅρματος.—***ὑφηνίοχος***· ἐπειδὴ ὁ μαχητὴς *(παραιβάτης)* ὁ ἐπιβαίνων τοῦ ἅρματος ὤφειλεν ἐν πάσῃ στιγμῇ νὰ εἶναι ἕτοιμος πρὸς μάχην, διὰ τοῦτο ἐχρειάζετο ἡνίοχον διὰ τὴν διεύθυνσιν τοῦ ἅρματος (ἐντεῦθεν τὸ ὄχημα ***δίφρος,*** *δίφρορος, δύο φέρων*). Ἡνίοχος καὶ παραιβάτης εἶναι σχεδὸν ὁμότιμοι (ἡνίοχος τοῦ Ἀχιλλέως ὁ φίλτατος Πάτροκλος, τοῦ Διομήδους ὁ φίλος Σθένελος), ἐὰν δὲ συνέβαινέ τι τῷ ἡνιόχῳ, ἐλάμβανε τὰ ἡνία αὐτὸς ὁ παραιβάτης καὶ παρὰ τῷ Ὁμήρῳ φέρονται διαπρεπεῖς ἥρωες ἐκτελοῦντες χρέη ἡνιόχου. Ἐπειδὴ ὅμως τὴν κυρίαν δρᾶσιν ἀπὸ τοῦ ἅρματος διεξῆγεν ὁ παραιβάτης, αὐτὸς ῥυθμίζων τὰς κινήσεις τοῦ ἅρματος, πᾶσα δὲ πρᾶξις τοῦ ἡνιόχου ἀπεσκόπει τὸ ἀγαθὸν ἐκείνου, ἡ θέσις τοῦ ἡνιόχου ἦτο ὑποδεεστέρα πως καὶ ἐντεῦθεν τὸ ***ὑφηνίοχος.—γαῖαν ἐδύσην*** ἡ ψυχὴ μεταβαίνει εἰς τὸν ᾅδην μόνον μετὰ τὴν καῦσιν τοῦ σώματος· ἐπειδὴ δὲ αὕτη ἐνταῦθα δὲν ἔχει λάβει χώραν, ἡ φράσις αὕτη καὶ ἡ ἑτέρα: (ὁ δεῖνα) ***Ἄιδόςδε βεβήκει*** σημαίνουσιν: ἡ ψυχὴ φεύγει πρὸς τὸν ᾅδην, περιφέρεται μεταξὺ τοῦ κράτους τῶν ζώντων καὶ τῶν νεκρῶν, ἕως λάβῃ τὴν ὁριστικὴν θέσιν διὰ τῆς καύσεως, ὅτε ὁ ποιητὴς λέγει *δόμον Ἄιδος εἴσω.* Ἐνταῦθα τὸ Ἐγὼ τοῦ ἀνθρώπου (τὸ) εἶναι ἡ ψυχή, διότι μόνον αὕτη κατέρχεται πρὸς τὸν Ἅιδην· πρβλ. Α 3.—*21* ***[Αἴσηπος*** ἐκ τοῦ Τρωικοῦ ποταμοῦ Αἰσήπου, ***Πήδασος*** ἐκ τῆς ὁμωνύμου Τρωικῆς πόλεως.] ***Νύμφη***· αἱ νύμφαι εἶναι χαρίεντα γυναικεῖα πνεύματα, θεότητες πηγῶν, δένδρων, ἀλσῶν, δασῶν, λειμώνων, ἄντρων κλπ. (προσωποποιία τῶν αἰωνίως ῥεόντων ὑδάτων ἢ τοῦ ὑγροῦ χυμοῦ τοῦ ζωογονοῦντος πᾶσαν γηίνην βλάστησιν)· ἐκεῖ κατοικοῦσι, λούονται, ᾄδουσι, χορεύουσιν, ἐργάζονται καὶ ἐπικοινωνοῦσι

Ψηφιοποιήθηκε από το Ινστιτούτο Εκπαιδευτικής Πολιτικής

